ὑπ᾽ αὐτοῦ. Προσάγεσθαι δὲ ἔλεγε καὶ τοῖς ὑλικοῖς τὴν τῆς ψυχῆς γνῶσιν διὰ τὸ τὴν φαντασίαν καὶ τὴν αἴσθησιν τῷ νῷ παραμίγνυσθαι· ὅθεν τὸν μᾶλλον καθαρεύοντα νοῦν καταληπτικώτερον εἶναι τῆς ἀΰλου καὶ νοητῆς ἀληθείας. Ἀλλὰ κατὰ Ἀριστοτέλη καὶ τὴν ἐν τῷ κοινῷ κρατήσασαν δόξαν, ὁ ἡμέτερος νοῦς ἐν τῇ ζωῇ ταύτῃ φυσικὴν ἔχει σχέσιν πρὸς τὰς φύσεις τῶν ὑλικῶν· ὅθεν οὐδὲ νοεῖ εἰ μὴ τῷ ἐπιστρέφειν ἑαυτὸν πρὸς τὰ φαντάσματα, καὶ διὰ τοῦτο τὰς μὴ αἰσθήσει καὶ φαντασίᾳ ὑποπιπτούσας ἀΰλους οὐσίας οὐ δυνάμεθα νοεῖν πρώτως καὶ καθ᾽ αὐτὰς τῷ διὰ πείρας ἡμῖν ἐγνωσμένῳ τῆς νοήσεως τρόπῳ. Ἐν οὐδενὶ γὰρ λόγῳ εἰσὶ πρὸς τὸν ἡμέτερον νοῦν κατὰ τὴν παροῦσαν ζωήν, ὥστε ὑπ᾽ ἐκείνου νοεῖσθαι δύνασθαι. Γινώσκουσα μέντοι ἑαυτὴν ἡ ψυχή, ἀφικνεῖται καὶ πρὸς τὸ κτήσασθαί τινα περὶ τῶν ἀσωμάτων οὐσιῶν ἐπιστήμην τὴν δυνατήν· οὐ τῷ ἑαυτὴν γινώσκειν κἀκείνας ἁπλῶς καὶ τελείως γινώσκει.

3. Ὅτι πολλῷ ἔλαττον δυνήσεται γνῶναι τὴν ὕπαρξιν τῆς ἀκτίστου
f. 263 οὐσίας· καὶ διὰ τοῦτο οὐκ ἔστι | τὸ πρώτως ὑφ᾽ ἡμῶν γινωσκόμενον ὁ Θεός, ἀλλὰ μᾶλλον διὰ τῶν κτισμάτων ἐπὶ τὴν αὐτοῦ γνῶσιν ἐρχόμεθα· τὸ δὲ πρῶτον ὑφ᾽ ἡμῶν γινωσκόμενον ἡ ἔνυλος οὐσία ἐστίν, ἀντικείμενον οὖσα ἡμετέρου νοῦ, ὡς πολλάκις εἴρηται.

Εἰ δὲ Αὐγουστῖνος φησίν, ὅτι τῷ τῆς πρώτης ἀληθείας φωτὶ πάντα νοοῦμεν καὶ κρίνομεν, ἀλλὰ δεῖ νοεῖσθαι τοῦτο, ὅτι τὸ φῶς τοῦ ἡμετέρου νοῦ, ἢ τὸ φυσικόν, ἢ τὸ ἐκ τῆς χάριτος, ἐνέργειά τις τῆς πρώτης ἀληθείας ἐστίν. Εἰ δὲ τὸ τοῦ νοῦ φῶς οὐχ ὡς τὸ νοούμενον ἀλλ᾽ ὡς τὸ ᾧ νοεῖται πρὸς τὸν ἡμέτερον ἔχει νοῦν, πολλῷ ἧττον ὁ Θεὸς ἔσται τὸ πρώτως ἡμῖν νοούμενον.

Καὶ εἰ διὰ τὸν Θεὸν τὰ ἄλλα γινώσκονται, οὐχ ὡς διὰ τὸ πρώτως γνωστόν, ἀλλὰ ὡς διὰ πρώτην τῆς γνωστικῆς δυνάμεως αἰτίαν, καὶ ὡς καταλάμποντα τῇ χάριτι τὸν ἡμέτερον νοῦν· αὐτὸς γάρ „ἐστι τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον", καὶ τὰ ἑξῆς.

Οὔτε ἡ ἐν τῷ ἀνθρώπῳ εἰκὼν τοῦ Θεοῦ τελεία ἐστὶν ὡς ἐν τῷ θείῳ Λόγῳ, ἵνα αὐτίκα νοῇ τὸν Θεὸν ὡς ὁ Λόγος αὐτοῦ, ἀλλὰ ἀτελὴς εἰκών.

## LXXXIX. — Περὶ τῆς γνώσεως τῆς χωριστῆς ψυχῆς.

1. Ὅτι καὶ χωρισθεῖσα τοῦ σώματος ἡ ψυχὴ νοεῖ, κατὰ Πλάτωνα μέν, καὶ βέλτιον πολλῷ ἢ ἐνταῦθα, ἀπαλλαγεῖσα τοῦ κωλύματος καὶ εἰς τὴν ἑαυτῆς ἐλθοῦσα φύσιν· κατὰ δὲ ἀλήθειαν, ἄλλως διαιροῦντος τοῦ λόγου. Ἡ γὰρ ψυχὴ ἕτερον τοῦ εἶναι τρόπον ἔχει ἐν τῷ σώματι, καὶ ἕτερον κεχωρισμένη, τῆς φύσεως τῆς αὐτῆς μενούσης αὐτῇ ἐν ἀμφοῖν τοῖς καιροῖς· οὐ γὰρ κατὰ συμβεβηκός, τῷ δὲ λόγῳ τῆς ἰδίας φύσεως ἑνοῦται

---

27 Ioh. 1, 9

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῷ σώματι. Καὶ τῷ μὲν τρόπῳ τοῦ ἐνταῦθα εἶναι αὐτῆς, ἁρμόττει τὸ διὰ τῆς πρὸς τὰ φαντάσματα ἐπιστροφῆς νοεῖν, ὡς εἴρηται· χωρισθείσῃ δὲ ἁρμόζει τοῦ νοεῖν τρόπος, ὁ διὰ τῆς πρὸς τὰ ἁπλῶς νοητὰ ἐπιστροφῆς, οὐ φυσικῶς καὶ αὐτὸς ὢν τῇ ψυχῇ ὡς πρότερον τὸ ἡνῶσθαι σώματι καὶ διὰ τῶν φαντασμάτων νοεῖν, ἀλλὰ παρὰ τὸν λόγον τῆς φύσεως αὐτῆς προσγινόμενος, ὡς καὶ τὸ κεχωρίσθαι τοῦ σώματος.

Ἀλλ' εἰ καὶ βέλτιόν ἐστι τῇ ψυχῇ τὸ ἡνῶσθαι τῷ σώματι καὶ νοεῖν τῇ πρὸς τὰ φαντάσματα ἐπιστροφῇ, ὡς οὕτως ἄμεινον νοούσῃ ἐνταῦθα ἢ εἰ ἐνόει κατὰ τὸν τρόπον τῶν χωριστῶν οὐσιῶν, δι' ἐλαττόνων μέντοι καὶ ἀμυδροτέρων εἰδῶν ἢ ἐκεῖναι κατὰ τὴν ἀναλογίαν τοῦ βαθμοῦ τῆς τάξεως, ἀλλ' οὐκ ἔστιν ἁπλῶς βέλτιον. Εἰ γὰρ καὶ μὴ κατὰ τὴν ἀκολουθίαν τῆς φύσεως, ἀλλὰ χάριτι λαμβάνει τρόπον τοῦ νοεῖν ὑψηλότερον, οὔτε τοῖς συμπεφυκόσιν εἴδεσιν, οὔτε τοῖς νῦν ἀφαιρουμένοις, οὔτε τοῖς ἐντεῦθεν συντηρουμένοις, ἢ τοιαύτῃ τινὶ μεθόδῳ λοιπόν, ἀλλὰ τοῖς εἴδεσιν ὧν μετέχει τῇ ἐπιρροίᾳ | τοῦ θείου φωτός, ὡς αἱ ἄλλαι χωρισταὶ οὐσίαι, πλὴν ὑφειμένως, νοοῦσα· ὅθεν αὐτίκα τῆς πρὸς τὸ σῶμα ἐπιστροφῆς παυσαμένης, πρὸς τὰ ὑψηλότερα ἐπιστρέφεται· οὐ μὴν διὰ τοῦτο οὐκ ἔστιν ἡ δύναμις αὕτη φυσική· ὁ γὰρ Θεός ἐστι δημιουργὸς οὐ μόνον τῆς ἐπιρροίας τοῦ διὰ τῆς χάριτος φωτός, ἀλλὰ καὶ τοῦ φυσικοῦ. f. 263v

2. Ὅτι ἡ χωριστὴ ψυχὴ τὰς χωριστὰς οὐσίας νοεῖ, ἀλλὰ τὰς μὲν ὁμοειδεῖς, τουτέστι τὰς κεχωρισμένας ψυχάς, τελεώτερον· τὰς δὲ ἀγγελικάς, ὡς ὑπερκειμένας, ἐλλιπέστερον καὶ ἀτελέστερον· τοῦτο δέ φαμεν περὶ τῆς φυσικῆς γνώσεως τῶν κεχωρισμένων ψυχῶν· περὶ δὲ τῆς ἐν τῇ δόξῃ γνώσεως ἄλλος λόγος.

3. Ὅτι τῷ αὐτῷ λόγῳ, ὥσπερ οὐ τελείως τὰς χωριστὰς οὐσίας νοεῖ τὰς ἀνομοειδεῖς, ἤγουν τὰς ἀγγελικάς, οὕτως οὐδὲ πάντα τὰ φυσικὰ τελείως γινώσκει, ἀλλ' ἔν τινι κοινότητι καὶ συγχύσει· οἱ δὲ ἄγγελοι τοῖς εἴδεσι τῆς ἐπιρροῆς τοῦ θείου φωτὸς καὶ τὰ φυσικὰ τελείως γινώσκουσιν.

4. Ὅτι ἡ χωρισθεῖσα ψυχὴ γινώσκει τὰ καθ' ἕκαστον· πᾶσαι γὰρ αἱ χωρισταὶ οὐσίαι διὰ τῶν εἰδῶν ἐκείνων, ἅ εἰσιν ὁμοιότητές τινες μεθεκταὶ τῆς θείας οὐσίας, δύνανται γινώσκειν τὰ μερικά, ὥσπερ ὁ Θεὸς τῇ οὐσίᾳ αὐτοῦ γινώσκει καὶ τὰ καθόλου καὶ τὰ καθ' ἕκαστον· πλὴν οἱ μὲν ἄγγελοι τελείαν καὶ ἰδίαν γνῶσιν ἔχουσι διὰ τῶν τοιούτων εἰδῶν καὶ εἰς πάντα τὰ καθ' ἕκαστον ἐκτεινομένην διὰ τὸ τοῦ νοῦ δραστήριον· αἱ δὲ χωρισθεῖσαι ψυχαὶ καὶ συγκεχυμένην, καὶ οὐκ εἰς πάντα διατείνουσαν, ἀλλ' ἐκεῖνα μόνον, πρὸς ἅπερ ὁρίζονται τρόπον τινὰ ἢ προηγησαμένῃ γνώσει, ἢ διαθέσει, ἢ φυσικῇ σχέσει, ἢ θείᾳ τινὶ τάξει.

---

29 *καθ' ἕκαστον* corrigé de *καθ' ἕκαστα* A  32 *καθ' ἕκαστον* corrigé de *καθ' ἕκαστα* A



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

5. Ὅτι μένει ἐν αὐτῇ ἡ ἕξις τῆς ἐνταῦθα κτηθείσης ἐπιστήμης, καθόσον ἐστὶν ἐν τῷ νῷ, ὅς ἐστι τόπος τῶν εἰδῶν, ὡς ἐν τρίτῳ περὶ ψυχῆς λέγεται, ἀλλ' οὐ καθόσον ἐστὶ κἀν ταῖς αἰσθητικαῖς δυνάμεσι νῦν τὸν αὐταῖς προσήκοντα τρόπον, τουτέστιν ὑλικῶς καὶ ὥσπερ κατὰ διάθεσιν· καθόσον γάρ ἐστιν ἐν τῷ νῷ ἀρχοειδῶς τε καὶ εἰδικῶς, οὔτε τῷ ἐναντίῳ φθαρείη ἄν· τῷ γὰρ κατὰ νοῦν νοήματι οὐδέν ἐστιν ἐναντίον, καὶ μάλιστα ὅσον κατὰ τὸν ἁπλοῦν νοῦν ᾧ τὸ τί ἦν εἶναι νοεῖται. Λήθῃ δὲ καὶ ἀπάτῃ οὐκ ἂν φθαρείη· ταῦτα γὰρ ἐν τῇ χωριστῇ ψυχῇ τόπον οὐκ ἔχουσιν. Οὔτε κατὰ συμβεβηκὸς ἂν φθαρείη, ἤγουν τῇ τοῦ ὑποκειμένου φθορᾷ· ἄφθαρτος γὰρ ἐδείχθη ὁ νοῦς.

6. Ὅτι καὶ ἡ ἐνέργεια τῆς ἐνταῦθα κτηθείσης ἐπιστήμης ἐν αὐτῇ μένει. Εἴρηται γὰρ πρὸς τὸν ἐν τῷ ᾅδῃ πλούσιον· „Μνήσθητι, ὅτι τὰ f. 264 ἀ|γαθά σου ἀπέλαβες ἐν τῇ ζωῇ σου". Δύναται μὲν οὖν νοεῖν κατὰ τὰ ἐνταῦθα κτηθέντα νοητὰ εἴδη, τὰ δὲ πρότερον ὑπ' αὐτῆς δι' αὐτῶν νοούμενα, οὐ τὸν αὐτὸν δὲ τρόπον, τῇ πρὸς τὰ φαντάσματα δηλαδὴ ἐπιστροφῇ, ἀλλὰ τὸν οἰκεῖον τῇ χωρισθείσῃ ψυχῇ.

7. Ὅτι τὴν γνῶσιν αὐτῆς ἡ τοπικὴ διάστασις οὐ κωλύει· ὁ γὰρ πλούσιος ἐν βασάνοις ὤν, „ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, εἶδε τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν", καὶ ὁ τούτου λόγος ἐστὶν ὅτι νοεῖ τὰ μερικὰ τῇ ἐκ τοῦ θείου φωτὸς τῶν εἰδῶν ἐπιρροίᾳ, ὃ δὴ φῶς ἐπίσης ἔχει πρὸς τὰ πόρρω καὶ τὰ ἐγγύς, νοητὸν ὂν καὶ θεῖον.

8. Ὅτι οὐ γινώσκει καὶ τὰ ἐνταῦθα γινόμενα πᾶσα ψυχὴ καθ' αὑτήν, εἰ μὴ αἱ τῶν μακαρίων· αἱ μὲν γὰρ ἄλλαι καὶ κατὰ τὴν θείαν διάταξιν καὶ κατὰ τὸν τοῦ εἶναι τρόπον διέστησαν τῆς τῶν ζώντων ἀναστροφῆς, καὶ συνήφθησαν τῇ τῶν ἀσωμάτων καὶ χωριστῶν. Καὶ τοῦτ' ἔστιν ὅ φησιν ὁ Γρηγόριος, ὅτι „οἱ τεθνηκότες τὴν μετ' αὐτοὺς τῶν ἐν σαρκὶ ζώντων ζωὴν ἀγνοοῦσιν, καὶ ὅπως ταύτην διατιθέασιν"· ἡ γὰρ ζωὴ τοῦ πνεύματος πόρρω τῆς σαρκικῆς ἐστι ζωῆς. Αἱ δὲ τῶν μακαρίων, τὸ τοῦ παντοδυνάμου Θεοῦ φῶς θεωροῦσαι, πάντα τὰ παρόντα καὶ τὰ ἐνταῦθα γινόμενα ἴσασιν, ἀλλ' ὡς τελειότατα τῇ θείᾳ συνημμέναι δικαιοσύνῃ οὔτ' ἄχθονται, οὔτε τοῖς ζῶσι πράγμασιν ἀναμίγνυνται εἰ μὴ καθόσον ἀπαιτεῖ ἡ τῆς θείας δικαιοσύνης διάταξις.

Φυσικῶς δὲ πᾶσαι αἱ ἄλλαι φροντίζουσι μὲν τῶν πραγμάτων τῶν ζώντων οἰκείων, ὡς ἐν τῇ παραβολῇ τῇ εὐαγγελικῇ δείκνυται, εἰ καὶ ὅπως ἔχουσι, ἀγνοοῦσιν, ὡς καὶ ἡμεῖς πορίζομεν αὐτοῖς τινὰς βοηθείας τοῖς τεθνηκόσιν, ὅπως ἔχουσιν ἀγνοοῦντες. Δύνανται δέ, εἰ καὶ μὴ δι' ἑαυτῶν, ἀλλ' ἢ διὰ τῶν ψυχῶν τῶν παρ' ἐκείνους ἐντεῦθεν προσχωρούντων εἰδέναι, ἢ δι' ἀγγέλων, ἢ δαιμόνων, ἢ τοῦ θείου Πνεύματος ἀποκαλύπτοντος, ὡς Αὐγουστῖνος φησίν.

Καὶ τὸ τοὺς τεθνηκότας δὲ ὁπωσδήποτε τοῖς ζῶσιν ἐπιφαίνεσθαι, ἢ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διά τινα εἰδικὴν τοῦ Θεοῦ οἰκονομίαν συμβαίνει, ὑπὲρ τῶν ζώντων γινομένην, καὶ δεῖ τοῦτ' ἐν τοῖς θείοις θαύμασιν ἀριθμεῖσθαι· ἢ αὗται αἱ ἐπιφάνειαι δι' ἀγγέλων ἐπιτελοῦνται, ἄλλαι μὲν ἀγαθῶν, ἄλλαι δὲ πονηρῶν, κατὰ τὴν διάφορον αὐτῶν ἐνέργειαν, καὶ αὐτῶν ἀγνοούντων τῶν τεθνηκότων, ὥσπερ καὶ οἱ ζῶντες ἀγνοοῦντες ἄλλοις ζῶσιν ἐν τοῖς ὕπνοις ἐπιφαίνονται.

## XC. — Περὶ τῆς παραγωγῆς τοῦ ἀνθρώπου ὅσον πρὸς τὴν ψυχήν.

1.-2. Ὅτι ἡ ψυχὴ δεδημιούργηται ἐκ τοῦ Θεοῦ ἐκ τοῦ μηδενός, ἀλλ' οὐκ ἐκ τῆς οὐσίας | ἐστὶν αὐτοῦ, ὡς Μανιχαῖοι ἐφρόνησαν. Ἡ γὰρ f. 264v
ἀνθρωπίνη ψυχὴ ποτὲ δυνάμει νοεῖ καὶ τὴν ἐπιστήμην ἐκ τῶν πραγμάτων συνάγει καὶ διαφόρους ἔχει δυνάμεις, ἃ πάντα τῆς θείας φύσεως ἀλλότρια, ὅς ἐστιν ἐνέργεια καθαρὰ καὶ μηδὲν παρ' οὐδενὸς λαμβάνων καὶ μηδεμίαν διπλόην ἔχων ἐν ἑαυτῷ, ὡς προαποδέδεικται.

Ἐκ τοῦ μηδενὸς δὲ γεγέννηται, ἤγουν δεδημιούργηται, ὡς καὶ τὰ ἄλλα ὑφεστηκότα εἴδη, ἤγουν αἱ χωρισταὶ οὐσίαι. Τὸ γὰρ συμβεβηκὸς μόνον καὶ τὰ μὴ ὑφεστῶτα εἴδη οὐ δημιουργεῖσθαι λέγονται, ἐπεὶ οὐδὲ κυρίως τὸ εἶναι αὐτοῖς ἁρμόζει, οὔτε τὸ γίνεσθαι. Αὐτῇ δὲ ταῦτα ἁρμόττει ὡς εἴδει ὑφεστῶτι, καὶ ἐπεὶ ἀδύνατον ἐκ προϋποκειμένης ὕλης γενέσθαι, οὔτε σωματικῆς· ἦν γὰρ ἂν καὶ αὐτὴ σωματικῆς φύσεως· οὔτε ἀσωμάτου· οὕτω γὰρ ἂν αἱ ἀσώματοι οὐσίαι εἰς ἀλλήλας μετέβαλον· ἀνάγκη λέγειν ἐκ τοῦ μηδενὸς γίνεσθαι.

3. Ὅτι ἀμέσως παρήχθη ὑπὸ Θεοῦ, οὐ μεσιτευόντων ἀγγέλων, ὥς τινες εἶπον· „Ἐνεφύσησε γάρ, φησίν, εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς", διότι, εἰ ἐκ δημιουργίας, ὡς εἴρηται, παρήχθη, μόνου δὲ δέδεικται τοῦ Θεοῦ τὸ δημιουργεῖν, ἤγουν τὸ ἐκ μηδενὸς ποιεῖν καὶ ἄνευ τινὸς μεταβολῆς προηγουμένης, ἀδύνατον ἦν ἄλλως αὐτὴν παραχθῆναι εἰ μὴ ἀμέσως ἐκ τοῦ Θεοῦ.

4. Ὅτι ὑστέρα παρήχθη τοῦ σώματος, ὡς καὶ τῇ ἱερᾷ Γραφῇ δείκνυται καὶ λόγῳ. Εἰ γάρ ἐστιν ἐντελέχεια, αὕτη δὲ ἐν τῇ οἰκείᾳ γίνεται δυνάμει, καὶ ἡ ψυχὴ ἐν τῷ σώματι δεδημιούργηται, λόγῳ μὲν ὑστέρα, ἔργῳ δὲ μετὰ τοῦ σώματος ἀρξαμένη τοῦ εἶναι, πλὴν ἐν σώματι, οὐχ ὡς οἱ Πλατωνικοὶ καὶ Ὠριγένης αὐτοῖς ἀκολουθῶν εἶπον, ἔστι δέ που καὶ Αὐγουστῖνος ὅμοια λέγων, πλὴν οὐκ ἰσχυρίζεσθαι δοκῶν. Περὶ δὲ τῆς καθημέραν δημιουργίας τῶν ἀνθρωπίνων ψυχῶν ἰδιαίτερός ἐστι λόγος.

---

**8 Autre titre en rouge dans la marge inférieure de A:** *Περὶ τῆς παραγωγῆς τῆς ψυχῆς τοῦ πρώτου ἀνθρώπου* **25 Gen. 2, 7**



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XCI. — Περὶ τῆς παραγωγῆς τοῦ σώματος τοῦ πρώτου ἀνθρώπου.

1. Ὅτι τὸ σῶμα τοῦ πρώτου ἀνθρώπου ἐκ τοῦ χοός ἐστιν, ὡς καὶ τῇ Γραφῇ λέγεται. Ὁ γὰρ Θεός, τέλειος ἁπλῶς ὤν, καὶ τῶν κτισμάτων ἑκάστῳ κατὰ τὴν τάξιν αὐτοῦ τὴν τελειότητα δέδωκεν. Οὕτως οὖν καὶ τὸν ἄνθρωπον σύνθετον καὶ ἐκ διαφόρων πεποιηκώς, ἐκ πάντων τῶν ὄντων τινὰ τρόπον συγκεῖσθαι τοῦτον πεποίηκε, καὶ ἐκ μὲν τῶν ἀσωμάτων οὐσιῶν ἐποίησεν αὐτῷ τὴν ψυχὴν λογικήν· καθ' ὁμοιότητα δὲ τῶν οὐρανίων σωμάτων, πόρρω τῶν ἐναντίων ἔπλασε διὰ τὴν μεγίστην τῆς κράσεως ἰσότητα· τὰ δὲ στοιχεῖα κατ' οὐσίαν δέδωκεν ἔχειν, οὕτω μέντοι, ὥστε τὰ ὑψηλότερα τῶν στοιχείων ἐν αὐτῷ κατὰ δύναμιν ἄρχειν, τουτέστι
f. 265 τὸ πῦρ καὶ τὸν ἀέρα, ἐπεὶ μάλιστα ἐν τῷ | θερμῷ συνίσταται ἡ ζωὴ καὶ ἐν τῷ ὑγρῷ, ἅ ἐστι πῦρ καὶ ἀήρ. Τὰ δὲ ταπεινότερα τῶν στοιχείων ἐν αὐτῷ πλεονάζει τῷ ποσῷ, καὶ διὰ τοῦτο λέγεται ἐκ πηλοῦ πεπλᾶσθαι, ὅς ἐστι γῆ ὕδατι φυραθεῖσα. Καὶ διὰ τοῦτο μικρὸς κόσμος ὁ ἄνθρωπος λέγεται διὰ τὸ πάντα τοῦ κόσμου τὰ κτίσματα, εὑρίσκεσθαι ἐν αὐτῷ τρόπον τινά.

2. Ὅτι καὶ ἀμέσως ὑπὸ τοῦ Θεοῦ πέπλασται, ὡς ἐν τῷ Ἐκκλησιαστῇ λέγεται· „Ὁ Θεὸς ἐκ γῆς ἔπλασε τὸν ἄνθρωπον", διότι μόνος αὐτὸς δύναται τῇ ἑαυτοῦ δυνάμει ἐκ τοῦ μὴ ὄντος τὴν ὕλην παραγαγεῖν, καὶ μόνος αὐτὸς εἶδος ἐν ὕλῃ παράγει, μὴ προηγησαμένου τινὸς εἴδους ὑλικοῦ. Ἐπεὶ οὖν οὔπω σῶμα ἀνθρώπινον πέπλαστο, οὗ τῇ δυνάμει τῇ τῆς γενέσεως ὁδῷ ὅμοιον ἄν τι κατ' εἶδος ἐπλάσθη, ἀνάγκη ἦν τὸ πρῶτον ἀνθρώπινον σῶμα ὑπ' αὐτοῦ τοῦ Θεοῦ πλασθῆναι.

3. Ὅτι καὶ εὐφυέστατος διατέθειται τὸ τοῦ ἀνθρώπου σῶμα, ὡς ἐν τῷ Ἐκκλησιαστῇ λέγεται· „Ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον ὀρθόν". Δέδωκε γὰρ αὐτῷ ἀρίστην διάθεσιν, ὅσον πρὸς τὸ εἶδος ὃ ἔμελλε δέχεσθαι, καὶ τὰς ἐνεργείας τὰς τοιαύτας. Εἰ δέ τις ἀσθένεια ἐν τῷ σώματι αὐτοῦ εἶναι δοκεῖ, παρέπεται ἐκ τῆς ὑλικῆς ἀνάγκης πρὸς τὰ ζητούμενα ἐν τῷ σώματι διὰ τὴν πρέπουσαν ἀναλογίαν αὐτοῦ πρὸς τὴν ψυχήν, καὶ τῆς ψυχῆς πρὸς τὰς ἐνεργείας· ὥσπερ ὁ ποιῶν πρίονα οὐκ ἀπὸ βελτίονος ὕλης ποιεῖ, ἀλλ' ἀπὸ σιδήρου, ὃς καὶ ἰοῦσθαι δύναται, τοῦ κάλλους οὐ φροντίζων ὡς ἐναντιουμένου τῷ πρίζειν. Καὶ ὁ μὲν ἐγκέφαλος αὐτῷ μείζων διὰ τὸ ἐλευθερώτερον τὰς αἰσθητικὰς ἐνεργείας πληροῦσθαι, αἵ εἰσιν ἀναγκαῖαι πρὸς τὰς ἐνεργείας τοῦ νοῦ, καὶ ἵνα ἡ τοῦ ἐγκεφάλου ψυχρότης κεραννύῃ τὴν ἐν καρδίᾳ θέρμην· αὐτὴ δὲ πλεονάζει ἐν ἀνθρώπῳ, ἵν' ὀρθὴν ἔχοι τὴν ἡλικίαν· τῷ δὲ μεγέθει τοῦ ἐγκεφάλου διὰ τὴν ὑγρότητα κωλύεται ἡ ὄσφρησις δεομένη ξηρότητος, καὶ διὰ τοῦτο χειρίστη τῶν ἄλλων ζῴων

---

19 Eccli. 17, 1 26 Eccli. 7, 30 35 *κερρανύῃ* A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐστὶν ἐν ἀνθρώπῳ. Καὶ ὄψις δὲ καὶ ἀκοὴ ἐν αὐτῷ ἀμβλυτέρα ἢ ἐν τοῖς ἄλλοις ζῴοις διὰ τὴν τελείαν τῆς κράσεως ἰσότητα· καὶ ταχύτερα δὲ τοῦ ἀνθρώπου πολλὰ διὰ τὴν αὐτὴν αἰτίαν· κέρατα δὲ καὶ ὁπλαὶ καὶ πυκνότης δέρματος καὶ τριχῶν καὶ πτερῶν πλῆθος ἐκ τοῦ πολλοῦ γεώδους εἰσίν, ὃ ἐναντίον τῇ ἰσότητι καὶ μαλακότητι τῆς ἀνθρωπίνης κράσεως. Ἀλλ' ἀντὶ τούτων λόγον ἔχει καὶ χεῖρας, δι' ὧν κατασκευάζων ἀναπληροῖ πάντα. Μαλακότης δὲ σαρκῶν αὐτῷ δέδοται ἰσότητος ἕνεκα καὶ πρὸς εὐφυΐαν· ὀρθότης δὲ διὰ τὴν ὄψιν μάλιστα, εἶτα καὶ τὰς ἄλλας αἰσθήσεις· καὶ ἵνα μὴ πιέζηται ὁ ἐγκέφαλος, ἀλλ' ἐπικέηται τῷ σώματι· καὶ ἵνα ἐλευθερίᾳ χρῆται χειρῶν· καὶ ἵνα | μὴ τῷ στόματι λαμβάνων τὴν τροφὴν ὡς τὰ f. 265v ἄλλα, ἔχῃ τοιαύτην τῶν ἐν τῷ στόματι κατασκευήν, χειλέων δηλαδὴ καὶ γλώσσης καὶ τῶν τοιούτων, οἷα ἐμποδίζειν ἔμελλε τῇ ὁμιλίᾳ τοῦ λόγου.

4. Ὅτι εἰδικῷ τινι τρόπῳ ἐχρήσατο ἡ Γραφὴ τῆς τοῦ ἀνθρώπου παραγωγῆς, οὐ λέγουσα· „Καὶ εἶπεν ὁ Θεός· γενηθήτω", ὡς καὶ ἐπὶ τῶν ἄλλων, ἵνα δείξῃ τὰ ἄλλα διὰ τὸν ἄνθρωπον γεγονότα.

## XCII. — Περὶ τῆς πλάσεως τῆς γυναικός.

1. Ὅτι μὲν δεόντως παρήχθη ἡ γυνὴ ἐν τῇ πρώτῃ τῶν ὄντων παραγωγῇ, ἀρκεῖ τὸ τῆς Γραφῆς ἀξίωμα, λεγούσης εἰπεῖν τὸν Θεόν· „Οὐκ ἔστι καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν"· τοῦτο δὲ διὰ τὴν τῆς γενέσεως βοήθειαν εἴρηται.

Εἰ δὲ πρόφασις ἁμαρτίας γέγονε τῷ ἀνδρί, οὐδὲν θαυμαστόν. Εἰ γὰρ πάντα ἐξ ὧν ὁ ἄνθρωπος πρόφασιν τοῦ ἁμαρτάνειν λαμβάνει ἐκ μέσου ἐποίει ὁ Θεός, ἔμεινεν ἂν τὸ πᾶν ἀτελές· ἀλλ' οὐδὲ προσῆκον ἦν τὸ κοινὸν ἀγαθὸν ἀναιρεθῆναι, ἵνα τις τὸ μερικὸν ἐκφύγοι κακόν, καὶ μάλισθ' ὅτι ὁ Θεὸς οὕτως ἐστὶ δυνατὸς ἅμα καὶ ἀγαθός, ὥσθ' ἕκαστον τῶν κακῶν εἰς τὸ ἀγαθὸν καὶ βούλεσθαι καὶ δύνασθαι τάττειν.

2. Ὅτι δὲ ἐκ τοῦ ἀνδρὸς γέγονεν, εὔλογον ἦν τεσσάρων αἰτιῶν εἵνεκα· πρῶτον μέν, ἵν' οὕτω τηρηθῇ τις ἀξία τῷ πρώτῳ ἀνθρώπῳ, ὥστε δηλαδὴ καὶ αὐτῷ κατὰ τὴν θείαν ὁμοιότητα προσήκειν τὸ ἀρχὴν εἶναι τοῦ ἀνθρωπίνου εἴδους ὅλου, ὡς καὶ ὁ Θεὸς ἀρχὴ τοῦ παντός· δεύτερον, ἵνα μᾶλλον οὕτως ἀγαπᾷ ὁ ἀνὴρ τὴν γυναῖκα· διὸ καὶ εἴρηται· „Ἕνεκα τούτου καταλείψει ἄνθρωπος", καὶ τὰ λοιπά, καὶ τοῦτ' ἀναγκαῖον ἦν τὸ δυσδιαιρετώτερον ἔχεσθαι τῆς γυναικὸς διὰ τὴν ἀναγκαίαν διὰ βίου συνοίκησιν, ὅπερ οὐ συμβαίνει τοῖς ἄλλοις ζῴοις· τρίτον, ἵνα ᾖ κεφαλὴ αὐτῆς ὁ ἀνήρ, καὶ αὐτὴ ἕπηται ἰδίαν ἀρχὴν τοῦτον ἐπιγινώσκουσα· τέταρτον, διὰ τὸν μυστηριώδη λόγον· δηλοῦται γὰρ διὰ τούτου τὴν Ἐκκλησίαν παρὰ

20 Gen. 2, 18   33 Gen. 2, 24

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Χριστοῦ λαβεῖν τὴν ἀρχήν, ὡς ἐν τῇ πρὸς Ἐφεσίους λέγεται· „Τοῦτο τὸ μυστήριον μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν Ἐκκλησίαν“.

Διότι δὲ οὐ γέγονεν ἐκ τοῦ Ἀδὰμ ἡ Εὔα γενέσει φυσικῇ, ἀλλὰ μόνον θείᾳ δυνάμει, οὐδὲ θυγάτηρ λέγεται τοῦ Ἀδάμ· ἡ γὰρ φυσικὴ γέννησις ἐποίει ἂν τὴν συγγένειαν τὴν τὸν γάμον κωλύουσαν· ἡ δὲ θεία δύναμις ὡς τὸν ἄνδρα ἐκ γῆς, οὕτω τὴν γυναῖκα ἐκ τοῦ ἀνδρὸς ἐποίησεν.

3. Ὅτι δεόντως ἐκ τῆς πλευρᾶς τοῦ ἀνδρὸς ἐπλάσθη. Διὰ μὲν γὰρ τὸ μὴ δεῖν ἄρχειν αὐτὴν τοῦ ἀνδρός, οὐκ ἐκ τῆς κεφαλῆς γέγονεν· διὰ
f. 266 δὲ τὸ μὴ δεῖν ὡς δούλην τῷ ἀνδρὶ καταφρονεῖσθαι, | οὐ γέγονεν ἐκ τῶν ποδῶν, ἀλλὰ διὰ τὴν ἀναγκαίαν μεταξὺ αὐτῶν φιλίαν ἐκ τῆς μεσότητος πέπλασται· δεύτερον, πρὸς δήλωσιν τοῦ μυστηρίου· ἐκ γὰρ τῆς Χριστοῦ πλευρᾶς ὑπνώσαντος ἐν σταυρῷ ἐρρύη τὰ μυστήρια δι᾽ ὧν ἡ Ἐκκλησία συνέστη.

4. Ὅτι ἐκ τοῦ Θεοῦ ἀμέσως παρήχθη, διότι μόνος ὁ Θεός, δημιουργὸς ὢν τῆς φύσεως, δύναται παρὰ τὴν τῆς φύσεως τάξιν τὰ ὄντα εἰς τὸ εἶναι παράγειν· ὥσπερ καὶ τὸ σῶμα τοῦ ἀνδρὸς ἐκ τῆς γῆς, καὶ τὴν γυναῖκα ἐκ τῆς τοῦ ἀνδρὸς πλευρᾶς ἔπλασεν.

## XCIII. — Περὶ τοῦ κατ᾽ εἰκόνα Θεοῦ ἐν ἀνθρώπῳ, ὃ τέλος τῆς τοῦ ἀνθρώπου παραγωγῆς.

1. Ὅτι ἔστιν ἐν ἀνθρώπῳ εἰκὼν τοῦ Θεοῦ, ἀλλ᾽ οὐ κατ᾽ ἰσότητα· ἐπ᾽ ἄπειρον γὰρ ὑπερβαίνει τὸ τοιοῦτο παράδειγμα τὴν τοιαύτην εἰκόνα· ὅθεν κατὰ ἀτελῆ ὁμοιότητα γέγονεν ἡ ἐν ἀνθρώπῳ εἰκὼν τοῦ Θεοῦ, δηλούσης καὶ τῆς Γραφῆς τοῦτο, ἐν τῷ λέγειν „κατ᾽ εἰκόνα“· ἡ γὰρ πρόθεσις προσχώρησίν τινα σημαίνει, ἥτις τοῖς διεστῶσιν ἁρμόζει.

Ἡ μὲν οὖν ἀληθὴς εἰκὼν τοῦ Θεοῦ ἐστιν ἐν τῷ θείῳ Λόγῳ, ὅς ἐστι πρωτότοκος πάσης τῆς κτίσεως, ὡς ἡ τοῦ βασιλέως εἰκὼν ἐν τῷ κατὰ φύσιν υἱῷ· ἐν δὲ τῷ ἀνθρώπῳ ἀλλοτρίας ὄντι φύσεως, ἀτελής τις ὁμοιότης τῆς εἰκόνος εὑρίσκεται, διὸ καὶ εἴρηται κατ᾽ εἰκόνα, ὡς ἡ βασιλικὴ εἰκὼν ἐν τῷ ἀργυρέῳ νομίσματι.

2. Ὅτι ἡ εἰκὼν τοῦ Θεοῦ οὐ λέγεται ἐν τοῖς ἀλόγοις ζῴοις εὑρίσκεσθαι· μόνα γὰρ τὰ νοερὰ κτίσματα, κατ᾽ εἰκόνα τοῦ Θεοῦ· οὐ γὰρ μόνον εἰσὶν ἐν ζῶσιν, ὡς καὶ τὰ ἄλλα, ἀλλὰ καὶ φρονοῦσιν ἢ νοοῦσιν, ἐν ᾧ πλησιάζουσι μᾶλλον ὡς μηδὲν εὑρίσκεσθαι πλησιέστερον τῷ Θεῷ. Ἁπλῶς δὲ τῷ πρώτῳ ποιοῦντι ὁμοιοῦνται πάντα ὡς μὲν ὄντα τῷ πρώτῳ ὄντι· ὡς δὲ ζῶντα τῇ πρώτῃ ζωῇ, ἀλλ᾽ οὐ κατ᾽ εἰκόνα λέγονται γενέσθαι, εἰ μὴ μόνα τὰ καὶ τῇ ἄκρᾳ σοφίᾳ ὁμοιούμενα καθόσον νοοῦσιν.

3. Ὅτι ὁ ἄγγελος οὕτω, μᾶλλον ἢ ὁ ἄνθρωπος, κατ᾽ εἰκόνα ἐστὶ τοῦ

---

1 Ephes. 5, 32

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Θεοῦ ἁπλῶς διὰ τὸ ὑψηλότερον ἐν αὐτῷ τὴν νοερὰν φύσιν εὑρίσκεσθαι· πῇ δὲ μᾶλλόν ἐστιν εἰκὼν ὁ ἄνθρωπος διὰ τὸ παρακτικόν· πρόεισι γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου ὡς Θεὸς ἐκ Θεοῦ, καὶ διὰ τὸ τὴν ψυχὴν ὅλην εἶναι ἐν ὅλῳ τῷ σώματι καὶ ἐν παντὶ τοῦ σώματος μέρει, ὥσπερ καὶ ὁ Θεὸς ἔχει πρὸς τὸν κόσμον, καὶ δι' ἄλλα τινὰ τοιαῦτα· ἀλλὰ κυρίως τοῦ κατ' εἰκόνα διὰ τὸ νοεῖν λεγομένου, ἁπλῶς μᾶλλον τὸ κατ' εἰκόνα τοῖς ἀγγέλοις ἁρμόζει.

4. Ὅτι ἡ τοῦ Θεοῦ εἰκὼν ἐν ἑκάστῳ τῶν ἀνθρώπων εὑρίσκεται.

Ἰστέον δέ, ὅτι τριχῶς εὑρίσκεται | ἐν ἀνθρώπῳ ἡ τοῦ Θεοῦ εἰκών· f. 266v
πρῶτον, κατὰ τὸ νοεῖν· αὕτη κοινῶς ἐν πᾶσιν ἀνθρώποις· δεύτερον, καθόσον ἐνεργείᾳ ἢ ἕξει γινώσκει καὶ ἀγαπᾷ τὸν Θεόν, πλὴν ἀτελῶς, κατὰ συμμόρφωσιν χάριτος, καὶ αὕτη ἐν τοῖς δικαίοις μόνοις ἐστίν· τρίτον, καθόσον γινώσκει καὶ ἀγαπᾷ τὸν Θεὸν ἐνεργείᾳ τελείως καθ' ὁμοιότητα δόξης, καὶ αὕτη ἐστὶν ἐν τοῖς μακαρίοις.

5. Ὅτι οὕτως ἐν τῷ ἀνθρώπῳ εἶναι τὴν θείαν εἰκόνα ῥητέον, ὥστε καὶ κατὰ τὴν θείαν φύσιν καὶ κατὰ τὴν τῶν προσώπων τριάδα ὁμοιότητά τινα ἐν ἀνθρώπῳ εὑρίσκεσθαι· καὶ γὰρ ἐν αὐτῷ τῷ Θεῷ μία φύσις ἐστὶν ἐν τρισὶ προσώποις, καὶ ἐν ἀνθρώπῳ, ἐν μιᾷ ψυχῇ, νοῦς καὶ λόγος καὶ νοερὰ θέλησις.

6. Ὅτι ἡ τοῦ Θεοῦ εἰκὼν ἐν ἀνθρώπῳ κατὰ μόνον τὸν νοῦν ἐστίν. Ἐν γὰρ τετάρτῳ τῆς πρὸς Ἐφεσίους, λέγεται· „Ἀνακαινίσθητε τῷ πνεύματι τοῦ νοὸς ἡμῶν, καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον"· ἐξ οὗ δίδοται νοεῖσθαι, ὅτι ἡ τῆς φύσεως ἀνακαίνισις, ἡ κατὰ τὸ ἔνδυμα τοῦ καινοῦ ἀνθρώπου γινομένη, εἰς τὸν νοῦν ἀναφέρεται· καὶ ἐν τῇ πρὸς Κολοσσαεῖς· „Ἐνδυσάμενοι τὸν καινὸν ἄνθρωπον, τὸν ἀνακαινούμενον ἐν ἐπιγνώσει Θεοῦ κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν", ἔνθα τὴν ἀνακαίνισιν, τὴν οὖσαν κατὰ τὸ ἔνδυμα τοῦ καινοῦ ἀνθρώπου, τῇ εἰκόνι τοῦ Θεοῦ ἀποδέδοται.

Ἰστέον δέ, ὡς εἰ καὶ ἐν πᾶσι τοῖς κτίσμασιν εὑρίσκεται ὁμοιότης τοῦ Θεοῦ, ὡς εἴρηται, ἀλλ' ἐκείνη κατὰ τὸ ἴχνος ὁμοιότης λέγεται εἶναι· ὃ δὴ ἴχνος οὕτω παριστᾷ τὴν αἰτίαν, ὥστε πρὸς τὴν ὁμοιότητα τοῦ εἴδους μηδαμῶς ἐφικνεῖσθαι· οἱ γὰρ ἐκ τῆς τῶν ζῴων κινήσεως ἐμμένοντες τύποι ἴχνη λέγονται, καὶ ἡ τέφρα τοῦ πυρὸς ἴχνος, καὶ ἡ τῆς γῆς ἐρήμωσις, τῆς τῶν ἐχθρῶν στρατιᾶς. Ἐν δὲ τῇ λογικῇ κτίσει ἡ κατὰ τὸν τῆς εἰκόνος τρόπον ὁμοιότης ἐστίν, διότι ὑπερέχει τῶν ἄλλων κτισμάτων τῷ νῷ καὶ τῇ διανοίᾳ, ἐν ᾗ εἰδική τις ὁμοιότης πρὸς τὴν πρώτην αἰτίαν ἀτελῶς εὑρίσκεσθαι δύναται οὐ μόνον κατὰ τὸ νοεῖν, ὃ εἰς τὴν ἑνότητα τῆς οὐσίας ἀνήκει, ἀλλὰ καὶ κατὰ τὴν τοῦ λόγου καὶ τῆς ἀγάπης πρόοδον ἐκ τοῦ νοῦ, ὃ εἰς τὴν τριάδα τῶν προσώπων ἀνήκει.

---

21 Ephes. 4, 23 25 Col. 3, 10

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ὥστε ἐν ἀνθρώπῳ κατὰ τὸν νοούμενον εὑρίσκεσθαι τὴν θείαν εἰκόνα· ἐν δὲ τοῖς ἄλλοις μέρεσιν αὐτοῦ, κατὰ τὸν τοῦ ἴχνους τρόπον, ὡς καὶ ἐν τοῖς ἄλλοις κτίσμασιν.

7. Ὅτι ἡ θεία εἰκὼν κατὰ τὰς ἐνεργείας ἔστιν ἐν ψυχῇ.

8. Ὅτι καὶ τῇ πρὸς τὸν Θεὸν μόνον ὥσπερ εἰς ἀντικείμενον ἀναφορᾷ.

9. Ὅτι ἡ εἰκὼν τῆς ὁμοιότητος διενήνοχε διχῶς· ἕνα μὲν τρόπον, καθόσον ἐστὶ προηγουμένη πρὸς αὐτὴν καὶ ἐν πλείοσιν οὖσα ἡ ὁμοιότης· f. 267 | καὶ οὕτως ἡ ὁμοιότης νοεῖται κατὰ τὰ κοινότερα τῶν ἰδιοτήτων τῆς νοερᾶς φύσεως, καθ' ἃς ἰδιότητας ἡ εἰκὼν ἰδίως νοεῖται· ἕτερον δὲ τρόπον, καθὸ σημαίνει ἔκφανσίν τινα καὶ τελειότητα τῆς εἰκόνος, καὶ κατὰ τοῦτο φησὶν ὁ Δαμασκηνός, ὅτι τὸ κατ' εἰκόνα τὸ νοερὸν σημαίνει καὶ τὸ τῇ βουλήσει ἐλεύθερον καὶ τὸ αὐτεξούσιον, ὅπερ ἐστὶ κατὰ τὴν τῆς ἀρετῆς ὁμοιότητα, καθόσον ἐστὶ δυνατὸν ἀνθρώπῳ τὴν ὁμοιότητα ἔχειν· καὶ ἁπλῶς εἰπεῖν, ἡ ὁμοιότης καὶ προηγεῖται τῆς εἰκόνος ὡς κοινοτέρα, καὶ ἕπεται ὡς τελειότης τῆς εἰκόνος. Λέγομεν γὰρ εἰκόνα τινὸς καὶ ὁμοίαν ἤγουν ἐφαπτομένην καλῶς, καὶ ἀνομοίαν ὡς ἀποδέουσαν ἐν τῷ παριστᾶν.

## XCIV. — Περὶ τῆς ἕξεως τοῦ πρώτου ἀνθρώπου ὅσον πρὸς τὸν νοῦν.

1. Ὅτι ὁ πρῶτος ἄνθρωπος οὐχ ἑώρακε τὸν Θεὸν κατ' οὐσίαν κατὰ τὴν κοινὴν τῆς ζωῆς ἐκείνης ἕξιν, εἰ μὴ κατὰ ἁρπαγήν, ὅτε ἐπέβαλεν ἔκστασιν ἐπ' αὐτόν· καὶ ὁ λόγος, ὅτι οὐδεὶς κατ' οὐσίαν ὁρῶν τὸν Θεόν, ὅ ἐστι τὸ ἐν τῇ μακαριότητι εἶναι, δύναται λοιπὸν ἀπεστράφθαι καὶ ἁμαρτάνειν, ἀλλ' ἵδρυνται αἰωνίως ἐν τῇ θείᾳ ἀγάπῃ οἱ κατ' οὐσίαν τὸν Θεὸν ὁρῶντες. Ἀλλ' ἐγίνωσκε τὸν Θεὸν ὑψηλοτέρᾳ γνώσει τῆς νῦν ἐν ἡμῖν, καὶ ὥσπερ μέσῃ, ὅτι δηλονότι διὰ τῶν νοερῶν ἀποτελεσμάτων ἐγίνωσκεν, οὐ διὰ τῶν αἰσθητικῶν καὶ σωματικῶν, τὸν Θεόν, ἧς γνώσεως ἡμεῖς εἰργόμεθα νῦν τῷ ὑπὸ τῶν αἰσθητῶν ἀφέλκεσθαι καὶ περὶ αὐτὰ περισπᾶσθαι. Ὁ δὲ πρῶτος ἄνθρωπος διὰ τῶν ἔξωθεν οὐκ ἐκωλύετο τῆς καθαρᾶς καὶ βεβαίου τῶν νοητῶν θεωρίας, ἃ τῷ τῆς πρώτης ἀληθείας φωτισμῷ κατελάμβανεν ἢ τῇ φυσικῇ γνώσει, ἢ τῇ κατὰ χάριν.

Εἰ δὲ μακαρίαν ἔχειν ζωὴν τότε λέγεται, καὶ ἄνευ μέσου τὸν Θεὸν ἑωρακέναι, καὶ ἄνευ αἰνίγματος, ἡ μὲν μακαριότης οὐκ ἦν ἐκείνη πρὸς ἣν μετατεθήσεσθαι ἔμελλεν, ἡ ἐν τῇ τοῦ Θεοῦ θεωρίᾳ συνισταμένη, ἀλλὰ τρόπῳ τινὶ μακαρία ζωή, ἔχουσά τινα ἀκεραιότητα καὶ τελειότητα φυσικήν. Τοῦ δὲ μέσου διχῶς λεγομένου, ἢ τὸ ἐν ᾧ ἅμα ὁρᾶται καὶ τὸ διὰ τοῦ μέσου ὁρώμενον, ὡς ὁ ἄνθρωπος διὰ τοῦ κατόπτρου καὶ ἅμα μετ' αὐτοῦ ὁρᾶται· ἢ οὗ διὰ τῆς γνώσεως ἐπ' ἄλλο τι ἄγνωστον καταντῶμεν, ὡς τὸ τῆς ἀποδείξεως μέσον, οὐκ ἄνευ τοῦ πρώτου, ἀλλὰ χωρὶς τοῦ δευτέρου τὸν Θεὸν ἑώρα ὁ ἄνθρωπος, τουτέστιν οὐ τῇ ὁδῷ τῆς ἐκ τῶν ἔξωθεν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀποτελεσμάτων ἀποδείξεως, ἀλλ' ἅμα τοῖς ἀποτελέσμασι τοῦ Θεοῦ καὶ μάλιστα τοῖς νοητοῖς τὸν Θεὸν κατὰ τὸν ἑαυτοῦ τρόπον ἑώρα· καὶ χωρὶς δὲ τῆς σκοτεινότητος τοῦ αἰνίγματος, τῆς ἐκ τῆς ἁμαρτίας ἀκολουθίας, ἥ ἐστι τὸ κώλυμα τῆς τῶν νοητῶν θεωρίας διὰ τὸν περὶ τὰ αἰσθητὰ περισπασμόν, οὐκ ἄνευ τῆς | αἰνιγματώδους σκοτεινότητος, ἣ παντὶ κτίσματι f. 267v πρόσεστι, παραβαλλομένῳ τῇ ἀπειρίᾳ τῆς θείας λαμπρότητος. Ἔβλεπε γὰρ τότε δι' ἀποτελέσματος κτιστοῦ τὸν Θεόν.

2. Ὅτι οὐδὲ τοὺς ἀγγέλους κατ' οὐσίαν ἑώρα, οὐκ ἐκ τῆς τοῦ σώματος ἐπιπροσθήσεως, ἀλλ' ὅτι τὸ συμφυὲς τῇ ψυχῇ ἐκείνῃ ἀντικείμενον ἀπέδυ τῆς ὑπεροχῆς τῶν χωριστῶν οὐσιῶν· ἡμεῖς δὲ νῦν ἀποδέομεν καὶ κατ' ἄμφω. Ὑψηλοτέραν μέντοι περὶ τῶν ἀγγέλων εἶχε γνῶσιν τῆς ἐν ἡμῖν νῦν· ἦν γὰρ μᾶλλον βεβαία καὶ ἱδρυμένη περὶ τὰ ἔνδον νοητά.

3. Ὅτι πᾶσαν εἶχεν ἐπιστήμην. Ὥσπερ γὰρ ἐν τελείᾳ γέγονε καταστάσει κατὰ τὸ σῶμα ὥστ' εὐθὺς δύνασθαι γεννᾶν, οὕτω καὶ ἐν τελείᾳ γέγονε καταστάσει κατὰ τὴν ψυχὴν ὥστε δύνασθαι τοὺς ἄλλους παραινεῖν τε καὶ κυβερνᾶν, ἐπεὶ ὡς ἀρχὴ τῶν ἄλλων ἐδημιουργήθη· καὶ κατ' ἀμφότερον ἀδύνατον δ' ἂν ἦν νουθετεῖν ἄλλους τὸν μὴ ἔχοντα ἐπιστήμην· ὥστε γέγονεν ἔχων ἐπιστήμην πάντων ὧν πέφυκεν ἄνθρωπος διδαχθῆναι παρ' ἄλλου· ταῦτα δέ εἰσι τὰ ἐν ταῖς πρώταις καὶ καθ' αὑτὰς ἐγνωσμέναις ἀρχαῖς δυνάμει ἐνόντα, ἃ δηλαδὴ φύσει γινώσκειν δύνανται ἄνθρωποι. Πρὸς δὲ τὸ τὴν τῶν ἄλλων καὶ τὴν ἰδίαν ζωὴν διοικεῖν οὐχ ἡ γνῶσις μόνον ζητεῖται τῶν φύσει γνωστῶν, ἀλλὰ καὶ τῶν τὴν φυσικὴν γνῶσιν ὑπερβαινόντων διὰ τὸ τὴν ζωὴν τοῦ ἀνθρώπου πρός τι τέλος ὑπερφυὲς τάττεσθαι, ὥσπερ καὶ ἡμῖν πρὸς τὴν διεξαγωγὴν τῆς ζωῆς ἀναγκαῖον εἰδέναι τὰ τῆς πίστεως· ὅθεν καὶ περὶ τῶν ὑπερφυῶν τούτων ᾔδει τὸ ἀναγκαῖον πρὸς τὴν κυβέρνησιν τῆς τοιαύτης τότε ζωῆς.

Δῆλα δὲ ταῦτα καὶ διὰ τοῦ ἐν τῇ Γραφῇ, ὅτι ἐπέθηκε πᾶσι τοῖς ζῴοις ὀνόματα· τὰ δ' ὀνόματα ταῖς φύσεσι τῶν πραγμάτων συμβαίνειν δεῖ· ὁ Ἀδὰμ ἄρα καὶ τῶν ζῴων τὰς φύσεις ἠπίστατο, καὶ πάντων εἶχε τὴν ἐπιστήμην τῶν δυνατῶν τότε γινώσκεσθαι. Εἰ δὲ καὶ γνῶσιν εἶχεν ἁπάντων διὰ τῶν ἐπιρρυέντων εἰδῶν, ἀλλ' οὐκ ἦν ἡ ἐπιστήμη ἐκείνη ἑτέρου λόγου παρὰ τὴν ἡμετέραν νῦν, ὥσπερ οὐδὲ οἱ ὀφθαλμοὶ οἱ ἐκ τοῦ Κυρίου τῷ τυφλῷ δεδομένοι ἄλλου ἦσαν λόγου παρὰ τοὺς ἡμετέρους, οὓς ἡ φύσις παρήγαγεν.

4. Ὅτι ἐν τῇ καταστάσει ἐκείνῃ οὐκ ἠδύνατο ἀπατᾶσθαι· τοῦτο γὰρ τιμωρία τοῦ πταίσματος ἠκολούθησεν· τῆς δὲ ἀπαθείας μενούσης, ἀδύνατον ἦν τὸν τοῦ ἀνθρώπου νοῦν ἔν τινι ψεύδει ἠρεμεῖν ὥσπερ ἐν ἀληθεῖ· τὸ γὰρ ψεῦδος κακὸν τοῦ νοῦ, ὡς τἀληθές, ἀγαθόν. Ἀλλ' ὥσπερ ἐν τοῖς ἐκείνου μέλεσιν | ἦν μέν τις ἔνδεια τελειότητος, οἷον δόξης, κακὸν δὲ οὐδέν, f. 268 οὕτω κἂν τῷ νῷ ἔνδεια μὲν γνώσεως ἦν, οὐχ ὑπόληψις δὲ ψεύδους. Ὁ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γὰρ νοῦς καθ᾽ ἑαυτὸν οὐδέποτε ἀπατᾶται, εἰ μὴ ἔκ τινος ταπεινοτέρου, δηλαδὴ φαντασίας, ἤ τινος τοιούτου· τῆς δὲ καταστάσεως ἐκείνης οἰκεῖον ἦν τὸ τὸ κριτήριον μὴ πεπεδῆσθαί τινι κωλύματι, τῶν ταπεινοτέρων δυνάμεων ὑποτεταγμένων αὐτῷ διὰ τὸ καὶ τὴν ψυχὴν ὑποτετάχθαι τῷ Θεῷ.

Ἡ δὲ τῆς γυναικὸς ἀπάτη, εἰ καὶ προηγήσατο τῆς κατ᾽ ἐνέργειαν ἁμαρτίας, ἠκολούθησε μέντοι τῷ ἁμαρτήματι τῆς ἔνδοθεν φυσιώσεως.

Εἰ δὲ καὶ ἤσθε καὶ ἀκολούθως καὶ ὕπνωττεν, ἀλλὰ τὸ ἐν τοῖς ὕπνοις συμβαῖνον οὐκ ἂν δικαίως λογίζοιτο τῷ ἀνθρώπῳ· οὐ γὰρ ἔχει τότε τὴν χρῆσιν τοῦ λόγου, ἥ ἐστιν ἰδία τοῦ ἀνθρώπου ἐνέργεια.

Ἀλλὰ καὶ περὶ ὧν οὐκ εἶχεν ἐπιστήμην, διαλογισμῶν δηλαδὴ ἀνθρωπίνων καὶ μελλόντων ἐνδεχομένων, θεόθεν ἂν πρὸς τὸ μὴ ἀπατᾶσθαι ἐβοηθεῖτο.

Εἰ δὲ ἐν τῷ πειρασμῷ βοήθειαν οὐκ ἔλαβεν ὥστε μὴ ἀπατηθῆναι, τοῦτ᾽ ἦν διὰ τὸ μὴ δυνηθῆναι τῇ θείᾳ βοηθείᾳ προσδραμεῖν, προηγησαμένης ἐν τῇ ψυχῇ τῆς ἁμαρτίας.

### XCV. — Περὶ χάριτος καὶ δικαιοσύνης τοῦ πρώτου ἀνθρώπου.

1. Ὅτι ἐν χάριτι πέπλασται. Ἡ γὰρ εὐταξία ἐκείνη τῶν ταπεινοτέρων δυνάμεων πρὸς τὸν λόγον, καὶ τοῦ λόγου πρὸς τὸν Θεόν, οὐχ ἦν φυσικὴ μόνον· ἔμεινε γὰρ ἂν καὶ μετὰ τὴν ἁμαρτίαν, ὡς κἀν τοῖς δαίμοσι τὰ φυσικὰ δῶρα· ἀλλὰ καὶ κατά τι δῶρον ὑπερφυὲς χάριτος ἦν, ἧς ἀποστάσης μετὰ τὴν ἁμαρτίαν, ᾐσχύνθησαν τῇ γυμνότητι· ᾔσθοντο γὰρ εὐθὺς ἀπειθῶν τῶν κινήσεων τῆς σαρκός, ὥσπερ ἐπ᾽ αὐτοὺς ἀνακαμπτούσης τῆς τιμωρίας τῆς παρακοῆς, φησὶν Αὐγουστῖνος. Εἰ οὖν τῆς χάριτος ἀποστάσης, λέλυται ἡ πρὸς τὴν ψυχὴν ὑποταγὴ τῆς σαρκός, καὶ διὰ τῆς χάριτος πρότερον ὑπετάττοντο τὰ ταπεινότερα ταύτῃ.

2. Ὅτι εἶχε τότε τὰ τῆς ψυχῆς πάθη, οὐ τὰ εἰς τὸ κακὸν ἀφορῶντα, οἷον φόβον καὶ ὀδύνην καὶ τὰ τοιαῦτα· οὐδὲ τὰ εἰς τὸ μὴ ἤδη παρὸν ἀγαθὸν ἀφορῶντα, ἢ πρὸς τὸ νῦν δέον παρεῖναι, οἷον ἐπιθυμίαν ἐκκαίουσαν, ἀλλὰ χαρὰν καὶ ἀγάπην τοῦ παρόντος ἀγαθοῦ, καὶ ἐπιθυμίαν τοῦ μέλλοντος καὶ ἐγκαίρως παρεσομένου, καὶ ἐλπίδα μὴ θλίβουσαν. Οὐκ ἦσαν μέντοι γε ταῦτα ἀνυπότακτα τῇ ψυχῇ, ὡς νῦν ἐν ἡμῖν φθάνουσι πολλάκις τὴν κρίσιν τοῦ λόγου καὶ κωλύουσιν, ἀλλὰ τῇ κρίσει τοῦ λόγου ἑπόμενα.

3. Ὅτι πάσας ὁ Ἀδὰμ εἶχε τὰς ἀρετὰς ἁμηγέπη, τὰς μὲν κατ᾽ ἐνέργειαν,
f. 268v οἷον | δικαιοσύνην, ἀγάπην, πίστιν, ἐλπίδα καὶ τὰ τοιαῦτα· μετάνοιαν δὲ καὶ ἐλεημοσύνην καὶ τὰ τοιαῦτα, καθ᾽ ἕξιν μόνον· διέκειτο γὰρ οὕτως ὡς, προηγησαμένης ἁμαρτίας, ὀδυνηθῆναι ἄν, καὶ δυστυχίαν ἐν

---

32 *ἐγκαίρως* corrigé de *ἔγκαιρον* A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἄλλῳ ἰδών, ζητεῖν ὅπως ἂν ὡς δυνατὸν αὐτὸν αὐτῆς ἀπαλλάξειεν, ὥς φησιν ἐν τοῖς ἠθικοῖς Ἀριστοτέλης, ὅτι ἡ ἐπὶ τοῖς αἰσχροῖς ὀδύνη οἰκεία ἐστὶ τῷ σπουδαίῳ καθ᾽ ὑπόθεσιν μόνον· ἔστι γὰρ οὕτω διακείμενος, ὥστ᾽ αἰσχύνεσθαι, εἴ τι πράξειεν αἰσχρόν.

4. Ὅτι τὰ ἔργα ἐκεῖνα ἔμμισθα ἦν, ὡς καὶ ἡμῖν νῦν δύνανται εἶναι. Ὡς ἐμμισθότερα μὲν ἂν ἦν τότε ἢ νῦν, εἰ πρὸς τὸ ποσὸν ἀποβλέποιμεν τοῦ μισθοῦ, ὅ ἐστι διὰ τὴν χάριν, ἢ δαψιλεστέρα ἂν ἦν τότε, οὐδενὸς ἐν τῇ φύσει κωλύματος ὄντος, καὶ μείζοσιν ἔργοις ἐπηκολούθησαν ἂν διὰ τὴν μείζω τότε τοῦ ἀνθρώπου πρὸς τὸ ἀγαθὸν δύναμιν. Εἰ μέντοι ἡ ἀνάλογος ποσότης θεωροῖτο, μείζων εὑρίσκεται νῦν ὁ μισθὸς διὰ τὴν ἀσθένειαν· μικρὸν γὰρ ἔργον τοῦ μετὰ δυσχερείας ἐργαζομένου ὑπερβαίνει μέγα τοῦ ἄνευ δυσχερείας ποιοῦντος.

## XCVI. — Περὶ τῆς τοῦ ἀνθρώπου τότε ἀρχῆς.

1. Ὅτι ἦρχε τότε τῶν ζῴων ὁ ἄνθρωπος· „Καὶ ἀρχέτωσαν, φησί, τῶν ἰχθύων τῆς θαλάσσης“, καὶ τὰ ἑξῆς. Φυσικὴ γὰρ ἦν ἡ τῶν ἄλλων ζῴων πρὸς τὸν ἄνθρωπον ὑποταγὴ τριχῶς· πρῶτον μέν, ὅτι ἀναγκαίως καὶ εὐλόγως ἔδει τὰ ἀτελέστερα πρὸς τὴν τοῦ τελειοτέρου χρῆσιν τετάχθαι, ὡς ἐπὶ πάντων ὁρῶμεν τῶν φυσικῶν· δεύτερον, ὅτι θεσμός ἐστι τῆς θείας προνοίας τὰ ταπεινότερα διὰ τῶν ὑψηλοτέρων κυβερνᾶσθαι· τρίτον, ὅτι τὸ κατὰ μετοχὴν δεῖ ὑποκεῖσθαι τῷ κατ᾽ οὐσίαν καὶ καθόλου· ἐν δὲ τοῖς ἀλόγοις εὑρίσκεταί τις κατά τινα λογισμὸν φυσικὸν πρὸς τὰς μερικὰς ἐνεργείας μετοχὴ φρονήσεως, ἢ ἐν τῷ ἀνθρώπῳ καθόλου καὶ κατ᾽ οὐσίαν ἐστί, πάντων τῶν πρακτῶν οὖσα λόγος.

2. Ὅτι ἦρχε καὶ τῆς ἄλλης κτίσεως, ὡς ἐν τῷ γράμματι λέγεται τῆς Γενέσεως. Εἰ γὰρ πάντα εἰσὶν ἐν ἀνθρώπῳ τρόπον τινά, οὕτω καὶ πάντων ἄρχει δήπου· πάσης δὲ κτίσεως νοεῖται τῆς μὴ οὔσης δηλονότι κατ᾽ εἰκόνα Θεοῦ. Ὅθεν ὁ ἐν ἐκείνῳ λόγος τῷ ἀνθρώπῳ, ἄρχοντος τόπον ἐπέχων, τῶν ἀγγέλων μὲν οὐκ ἦρχεν, τῶν δ᾽ αἰσθητικῶν δυνάμεων ἦρχε καὶ φυτικῶν, καθ᾽ ἃς κοινωνεῖ τοῖς ζῴοις καὶ τοῖς φυτοῖς, καὶ τοῦ σώματος, καθ᾽ ὃ κοινωνεῖ τοῖς ἀψύχοις. Ὅθεν καὶ τῶν ἀλόγων ἦρχε, καὶ τῶν φυτῶν, καὶ τῶν ἀψύχων, οὐ προστάττων ἢ μεταβάλλων, ἀλλ᾽ ἀκωλύτως τῇ ἐξ αὐτῶν βοηθείᾳ χρώμενος.

3. Ὅτι ἐν τῇ τῆς ἀπαθείας καταστάσει οὐκ ἂν ἦσαν οἱ ἄνθρωποι ἴσοι· πρῶτον μέν, κατὰ | τὸ γένος, ἤ, οὐκ ἂν ἦν γένεσις· εἶτα, κατὰ τὴν f. 269
ἀναδρομὴν τοῦ σώματος· εἶτα, καὶ κατὰ τὰς ψυχικὰς ἕξεις, δικαιοσύνην δηλαδὴ καὶ ἐπιστήμην. Οὐ γὰρ ἐξ ἀνάγκης ἐνήργουν ἄν, ἀλλὰ τῷ αὐτεξουσίῳ, δι᾽ ὃ δύναται ὁ ἄνθρωπος μᾶλλον ἢ ἧττον προσάγειν τὸν νοῦν τινὶ

15 Gen. 1, 26

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

προσήκοντι γενέσθαι, ἢ θεληθῆναι, ἢ γνωσθῆναι· ἀλλὰ καὶ ῥωμαλεώτεροι ἂν ἐγίνοντο ἄλλοι ἄλλων, καὶ καλλίους καὶ βέλτιον κεκραμένοι, καὶ τροφαῖς καὶ ἀέρος διαθέσει καὶ τόπων ἐξαλλαττόμενοι· οὐ γὰρ ἦν ἂν αὐτοῖς τὰ σώματα τῶν τῆς φύσεως νόμων ἐξῃρημένα, ὥσθ' ὑπὸ τῶν ἔξωθεν μὴ προσίεσθαί τι μᾶλλον ἢ ἧττον ὠφέλημα ἢ βοήθημα, οὕτω μέντοι γε, ὥστ' ἐν τοῖς νικωμένοις μηδεμίαν εἶναι στέρησιν ἢ ἁμάρτημα ἐντεῦθεν περὶ τὴν ψυχὴν ἢ τὸ σῶμα.

4. Ὅτι καὶ ἀλλήλων ἂν ἦρχον τότε οἱ ἄνθρωποι· οὐκ ἂν γὰρ ἦν ἡ τῶν ἀνθρώπων ἀξία τότε μείζων τῆς τῶν ἀγγέλων, ἐν οἷς ἕτεροι ἑτέρων ἄρχουσιν· ἀλλ' οὐκ ἂν ἦρχον δεσποτικὴν ἀρχήν· αὕτη γάρ, οὐ δυναμένη εἶναι ἄνευ λύπης ἐν τοῖς ἀρχομένοις, οὐκ ἂν ἥρμοζε τῇ ἀπαθεῖ καταστάσει· ἀλλὰ πολιτικὴν καὶ ἡγεμονικὴν πρὸς τὸ τοῦ ἀρχομένου ἴδιον ἀγαθὸν καὶ πρὸς τὸ κοινὸν βλέπουσαν.

## XCVII. — Περὶ τοῦ σώματος αὐτοῦ.

1. Ὅτι ὁ ἄνθρωπος ἐν τῇ τῆς ἀπαθείας καταστάσει ἀθάνατος ἂν ἦν. Ὡς γὰρ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους φησί· „Διὰ τῆς ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος“. Ἦν δ' ἂν ἀθάνατος οὐ κατὰ ἀπόφασιν οὐδὲ φυσικῶς· οὐ γὰρ ἀδιάλυτον αὐτῷ ἦν τὸ σῶμα· ἀλλὰ κατὰ χάριν· ἐνῆν γὰρ τῇ ψυχῇ δύναμις θεόθεν ὑπερφυῶς δεδομένη, δι' ἣν ἠδύνατο τὸ σῶμα πάσης ἀνώτερον φθορᾶς διαμένειν, ἐφόσον ἂν διέμενε τῷ Θεῷ ὑποτεταγμένη, ὅπερ τῇ τῆς σωματικῆς ὕλης φύσει ἀδύνατον ἦν προσεῖναι ἀφ' ἑαυτῆς.

2. Ὅτι καὶ ἀπαθὴς ἂν ἦν. Εἰ γὰρ παθητός, καὶ φθαρτὸς ἂν ἦν, εἴγε τὸ πάθος ἐπιταθὲν ἐξάγει καὶ τῆς οὐσίας, εἰ καὶ τῷ τελειωτικῷ πάθει συνῆν, ὥσπερ τὸ νοεῖν καὶ αἰσθάνεσθαι πάσχειν τι λέγεται. Ἡ δὲ ἀφαίρεσις τῆς πλευρᾶς οὐ μετὰ πάθους ἦν, ἐξάγοντος τὸν ἄνθρωπον τῆς φυσικῆς διαθέσεως, ὥσπερ οὐδ' ἡ τοῦ σπέρματος ἔκκρισις· ἀρχὴ δὲ καὶ ἡ πλευρὰ τοῦ ἀνθρωπίνου γένους ἦν ὡς τὸ σπέρμα.

Ἀπαθὴς δ' ἂν ἦν, ἢ προφυλαττόμενος ἀπὸ τῶν ἔξωθεν σκληρῶν καὶ βλαβερῶν διὰ τὸν ἐν αὐτῷ λόγον, ἢ καὶ διὰ τὴν ἐκ τῆς προνοίας ἐπίσκεψιν, ὥστ' ἐκ τοῦ ἀπροόπτου μηδὲν αὐτῷ συναντᾶν βλαβερόν.

3. Ὅτι ἀναγκαίως ἂν ἐδεῖτο τροφῶν· „Ἀπὸ παντὸς γάρ, φησί, ξύλου
f. 269v βρώσει φαγῇ“· | ὡς γὰρ εἶχε ζωὴν ζωώδη, δεομένην σιτίων, καὶ ζωὴν ἀπὸ τῆς ψυχῆς διδομένην τῷ σώματι, ἧς δὴ ψυχῆς ἡ φυτικὴ δύναμις πρώτη τῆς ζωῆς ἀρχὴ ἐν τοῖς ὑποκάτω, τῷ χρῆσθαι τροφῇ καὶ γεννᾶν καὶ αὔξειν συνισταμένη ὡς οἰκείαις αὐτῆς ἐνεργείαις· καὶ τὸ οὕτω ζῶν σῶμα ψυχικὸν λέγεται. Μετὰ δὲ τὴν ἀνάστασιν ἡ ψυχὴ κοινωνήσει πως τῷ σώματι τῶν ἑαυτῆς ἰδίων, καθόσον ἐστὶ πνεῦμα, ἀθανασίας μέν, πάσης ἀπα-

---

17 Rom. 5, 12 32 Gen. 2, 16

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006